# ΤΟ ΣΤΑΦΥΛΙΟΝ ΤΟΥ ΕΣΚΩΛ.

ΕΝΩ εὑρίσκοντο οἱ Ἰσραηλῖται στρατοπεδευμένοι εἰς τὴν ἔρημον τοῦ Φαρὰν, ἐλάλησεν ὁ Κύριος εἰς τὸν Μωϋσῆν, λέγων·



ΚΑΤΑ ΤΟΥΣ ΕΒΔΟΜΗΚΟΝΤΑ.

Ἀπόστειλον σεαυτῷ ἄνδρας, καὶ κατασκεψάσθωσαν τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν· ἄνδρα ἕνα κατὰ φυλὴν, κατὰ δήμους πατριῶν αὐτῶν, ἀποστελεῖς αὐτοὺς, πάντα ἀρχηγὸν ἐξ αὐτῶν. Καὶ ἐξαπέστειλεν αὐτοὺς Μωϋσῆς ἐκ τῆς ἐρήμου Φαρὰν διὰ φωνῆς Κυρίου· καὶ εἶπε πρὸς αὐτοὺς, Ἀνάβητε ταύτῃ τῇ ἐρήμῳ, καὶ ἀναβήσεσθε εἰς τὸ ὄρος, καὶ ὄψεσθε τὴν γῆν τίς ἐστι, καὶ τὸν λαὸν τὸν ἐγκαθήμενον ἐπ' αὐτῆς, εἰ ἰσχυρός ἐστιν ἢ ἀσθενὴς, ἢ ὀλίγοι εἰσὶν ἢ πολλοί· καὶ τίς ἡ γῆ, εἰς ἣν οὗτοι ἐγκάθηνται ἐπ' αὐτῆς, ἢ καλή ἐστιν ἢ πονηρά· καὶ τίνες αἱ πόλεις, ἃς οὗτοι κατοικοῦσιν ἐν αὐταῖς, εἰ ἐν τειχήρεσιν ἢ ἐν ἀτειχίστοις· καὶ τίς ἡ γῆ, ἢ πίων ἢ παρειμένη· εἰ ἔστιν ἐν αὐτῇ δένδρα ἢ οὔ· καὶ προσκαρτερήσαντες λήψεσθε ἀπὸ τῶν καρπῶν τῆς γῆς. Καὶ αἱ ἡμέραι ἡμέραι ἔαρος, πρόδρομοι σταφυλῆς. Καὶ ἀναβάντες κατεσκέψαντο τὴν γῆν· καὶ ἦλθοσαν ἕως φάραγγος βότρυος, καὶ κατεσκέψαντο αὐτήν· καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα καὶ βότρυν σταφυλῆς ἕνα ἐπ' αὐτοῦ, καὶ ἦραν αὐτὸν ἐπ' ἀναφορεῦσι, καὶ ἀπὸ τῶν ῥοῶν, καὶ ἀπὸ τῶν συκῶν. Καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν Φάραγξ βότρυος, διὰ τὸν βότρυν, ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραήλ.

ΚΑΤΑ ΤΗΝ ΕΚ ΤΟΥ ΕΒΡΑΙΚΟΥ ΜΕΤΑΦΡΑΣΙΝ.

Στεῖλε ἄνδρας διὰ νὰ κατασκοπεύσωσι τὴν γῆν Χαναὰν, τὴν ὁποίαν ἐγὼ δίδω εἰς τοὺς υἱοὺς τοῦ Ἰσραήλ· ἀπὸ πᾶσαν φυλὴν τῶν πατέρων αὐτῶν θέλετε στείλει ἕνα ἄνδρα, ἕκαστον ἐξ αὐτῶν ἀρχηγόν. Καὶ διὰ προσταγῆς τοῦ Κυρίου ἔστειλεν αὐτοὺς ὁ Μωϋσῆς ἀπὸ τὴν ἔρημον τοῦ Φαράν· καὶ εἶπεν εἰς αὐτοὺς, Ἀναβῆτε ἀπὸ τὸ μέρος τοῦτο τῆς μεσημβρίας, καὶ ἀναβῆτε εἰς τὸ ὄρος· καὶ θεωρήσετε τὴν γῆν ποία εἶναι, καὶ τὸν λαὸν ὁ ὁποῖος κατοικεῖ εἰς αὐτὴν, ἐὰν ἦναι δυνατὸς ἢ ἀδύνατος, ὀλίγοι ἢ πολλοί· καὶ ὁποία εἶναι ἡ γῆ, εἰς τὴν ὁποίαν οὗτοι κατοικοῦν, ἐὰν ἦναι καλὴ ἢ κακή· καὶ ὁποῖαι εἶναι αἱ πόλεις, τὰς ὁποίας οὗτοι κατοικοῦν, ἀτείχιστοι ἢ περιτειχισμέναι· καὶ ὁποία εἶναι ἡ γῆ, παχεῖα ἢ λεπτὴ, ἐὰν ἦναι εἰς αὐτὴν δένδρα ἢ ὄχι· καὶ ἔχετε θάῤῥος, καὶ φέρετε ἀπὸ τοὺς καρποὺς τῆς γῆς. Αἱ δὲ ἡμέραι ἦσαν αἱ ἡμέραι τῶν πρώτων σταφυλίων. Καὶ ἀναβάντες ἐξέτασαν τὴν γῆν· καὶ ἦλθαν ἕως τὴν φάραγγα τοῦ Ἐσκὼλ, καὶ ἔκοψαν ἀπὸ ἐκεῖ κλῆμα ἀμπέλου μὲ ἓν σταφύλιον, καὶ ἐσήκωναν αὐτὸ δύο ἐπάνω εἰς ξύλον· ἔφεραν καὶ ῥόδια καὶ σῦκα. Ὁ τόπος ὠνομάσθη φάραγξ Ἐσκὼλ, διὰ τὸ σταφύλιον, τὸ ὁποῖον ἀπ' ἐκεῖ ἔκοψαν οἱ υἱοὶ τοῦ Ἰσραήλ.

---

Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
Φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

Κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
Ἄνθρωπος οὗτός ἐστιν, ἐὰν ἄνθρωπος ᾖ.